μένους, ἐὰν οἰκονομικοὶ ὦσιν, εἰς τοὺς πλουσίους. ¶ Καὶ ὁ Εὐθύδημος ἔφη, ἀναγκάζει με καὶ ταῦτα ὁμολογεῖν δηλονότι ἡ ἐμὴ φαυλότης, καὶ φροντίζω, μὴ κράτιστον ᾖ μοι σιγᾶν· κινδυνεύω γὰρ ἁπλῶς οὐδὲν εἰδέναι. Καὶ πάνυ ἀθύμως ἔχων ἀπῆλθε, καὶ καταφρονήσας ἑαυτοῦ, καὶ νομίσας τῷ ὄντι ἀνδράποδον εἶναι.

40 Πολλοὶ μὲν οὖν τῶν οὕτω διατεθέντων ὑπὸ Σωκράτους οὐκ ἔτι αὐτῷ προσῄεσαν, οὓς καὶ βλακωτέρους ἐνόμιζεν· ὁ δὲ Εὐθύδημος ὑπέλαβεν οὐκ ἂν ἄλλως ἀνὴρ ἀξιόλογος γενέσθαι, εἰ μὴ ὅτι μάλιστα Σωκράτει συνείη· καὶ οὐκ ἀπελείπετο ἔτι αὐτοῦ, εἰ μή τι ἀναγκαῖον εἴη· ἔνια δὲ καὶ ἐμιμεῖτο, ὧν ἐκεῖνος ἐπετήδευεν. ὁ δὲ ὡς ἔγνω αὐτὸν οὕτως ἔχοντα, ἥκιστα μὲν διετάραττεν, ἁπλούστατα δὲ καὶ σαφέστατα ἐξηγεῖτο, ἅ τε ἐνόμιζεν εἰδέναι δεῖν, καὶ ἐπιτηδεύειν κράτιστα εἶναι.

§. 40. διατεθέντων] *Qui eo redacti erant a Socrate, ut de se aliter, quam antea, existimarent, et, quam nihil scirent, intelligerent.* Elegantissimus est iste verbi διατεθέναι usus, de quo copiose egere insignes Viri Hemsterhus. ad Lucian. Nigrin. p. 80. 81: Wesselingius ad Diodor. p. 99. *Ern.*

βλακωτέρους] Vid. ad III, 13, 4. *Ern.*

κράτιστα] Marg. Steph. κράτιστον.

---

CAPUT